# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Τῌ Ε΄ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΑΥΓΟΥΣΤΟΥ

† Τὰ Προεόρτια τῆς Ἁγίας Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ μνήμη τοῦ Ἁγίου Μάρτυρος Εὐσιγνίου.

Ἦχος Δι




Στίχος 1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ. (Τό ὡς ἄνω)

Στίχος 2. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ Ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.




Στίχος 3. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τό ὡς ἄνω)

# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Ἀπολυτίκιον

### Ἦχος δ' Δι




Δόξα... Καὶ νῦν... (Τό ὡς ἄνω)



Μετὰ τὴν α΄ Στιχολογίαν
Καθίσματα Ἦχος δ΄
Ταχὺ προκατάλαβε,

Ἡμέρα εὐφρόσυνος ἐπέστη νῦν τοῖς πιστοῖς, τῆς θείας ἐνδόξου τε μεταμορφώσεως, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· πάντες οὖν φαιδρυνθῶμεν, τοῦ δοξάσαι ἀξίως, ᾄσμασι θεηγόροις τὰ αὐτοῦ μεγαλεία, ἐν οἷς ὡς Θεός ἐκλάμψας κόσμον εφώτισεν.

Δόξα... Καὶ νῦν... (Τό ὡς ἄνω)

Μετὰ τὴν β΄ Στιχολογίαν
Ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ

Ἐν ὄρει τῷ Θαβώρ συνανέλθωμεν πάντες, πιστοὶ τοῖς μαθηταῖς τοῦ Χριστοῦ τοῖς προκρίτοις, νοΐ καὶ κατίδωμεν τὴν αὐτοῦ μεταμόρφωσιν, καὶ δοξάσωμεν τὴν εἰς ἡμᾶς αὐτοῦ ἄκραν, συγκατάβασιν δἰ ἧς τῷ κόσμῳ παρέχει, ζωήν τὴν αἰώνιον.

Δόξα... Καὶ νῦν... (Τό ὡς ἄνω)

Ὁ Ν΄ ψαλμός χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Κανὼν Προεόρτιος,
ᾨδὴ α΄. Ἦχος δ΄
Ὁ Εἱρμός.

Ἀνοίξω το στόμα μου και πληρωθήσεται Πνεύματος, και λόγον ἐρεύξομαι τῇ βασιλίδι Μητρί· καί ὀφθήσομαι φαιδρῶς πανηγυρίζων καί ἄσω γηθόμενος ταύτης τά θαύματα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀστράφθητι κάτωθεν, φῶς οὐρανοῦ ὑπὲρ ἥλιον, καὶ γῆ ἀκουτίσθητι, ῥήματα ζῶντος Θεοῦ· τὴν Υἱότητα, τῷ μεταμορφουμένῳ, Πατὴρ μαρτυρήσει γάρ, ἐπὶ τοῦ ὄρους Θαβώρ.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βροτὸς τὸ ὁρώμενον, ἀλλὰ Θεὸς τὸ κρυπτόμενον, ἐπὶ τὸ Θαβώριον, Χριστὸς ἀνέρχεται, τῆς Θεότητος, αὐγὴν παραγυμνῶσαι, ταῖς ὑπὲρ τὸν ἥλιον, δόξης λαμπρότησι.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Γνωστῶς νῦν προέρχεται, ἐμφανισθῆναι Μωσῇ Χριστός, καὶ δόξαν τὴν ἄρρητον, δεῖξαι ἐν ὄρει Θαβώρ, τῇ πρὸς πρόσωπον, ἀμέσως ὁμιλίᾳ. Γηθόμενοι σήμερον προεορτάσωμεν.

Ὁ Κανὼν τοῦ Ἁγίου,
ᾨδὴ α΄. Ἦχος πλ. δ΄
Ἄσωμεν τῷ Κυρίῳ

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ταῖς πανευκλεεστάταις, τάξεσιν Ἀγγέλων Παναοίδιμε, συνυπάρχων ἀπαύστως, τοὺς δοξάζοντας σῷζε τὴν μνήμην σου.

τὸ αὐτὸ

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οἶκος τοῦ Παρακλήτου, ἡ ἡγιασμένη σου διάνοια, Ἀθλοφόρε ἐδείχθη· διὰ τοῦτό σε πίστει γεραίρομεν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νέκρωσιν ζωηφόρον, τοῦ σαρκὶ παθόντος ἐξεικόνισας, τῇ σαρκί σου Παμμάκαρ, καὶ τῆς ὄντως ζωῆς κατηξίωσαι.

Δόξα...

Κράτος παρανομούντων, κρατυνθεὶς τῷ Πνεύματι κατέβαλες, καὶ τοὺς νόμους Κυρίου, παναοίδιμε Μάρτυς ἐκράτυνας.

Καὶ νῦν... Θεοτοκίον

Λέλυται ἡ κατάρα, πέπαυται ἡ λύπη τῇ κυήσει σου, παντευλόγητε Κόρη, τῶν πιστῶν εὐφροσύνη πανάμωμε.

Κανὼν α΄, Ὠδὴ γ΄, Προεόρτιος

Ἦχος δ΄

Ὁ Εἱρμὸς

Τους σούς ὑμνολόγους, Θεοτόκε, ὡς ζῶσα καί ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καί ἐν τῇ θείᾳ δόξῃ σου στεφάνων δόξης ἀξίωσον.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Δεσπόζων τῆς κτίσεως ἁπάσης, ὡράθης μορφὴν δούλου λαβών, ἐν ᾗ τὸ τῆς Θεότητος, ἀπρόσιτον ἀπαύγασμα, τοῖς Μαθηταῖς παρέδειξας, καθὼς ἐχώρουν θεάσασθαι.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐν ὄρει ἐπείγεται ἀστράψαι, τῆς δόξης ὁ ἥλιος Χριστός, καὶ τὸν ἐξ ὕψους λάμποντα, φωστῆρα ἀμαυρῶσαι φωτί, οὗ ταῖς αὐγαῖς λαμπόμενοι, προεορτάσωμεν σήμερον.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ζωῆς αἰωνίου ἐκπληρώσων, τὰ ῥήματα πάρεστι Χριστός, ἅπερ δεικνύων πράγματα, τοῖς φίλοις ἐπιγνώσεσθαι, ἐν ἑαυτῷ ηὐδόκησε, τὴν πατρικὴν δόξαν ἀστράπτουσαν.

Κανὼν β', Ὠδὴ γ', τοῦ Ἁγίου Μάρτυρος
Ἦχος πλ. δ'
Σὺ εἶ τὸ στερέωμα

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἔστης πρὸ τοῦ βήματος, ὑμνολογῶν Θεὸν ἄνακτα, Μάρτυς σοφέ, σάρκα εἰληφότα, καὶ βροτοὺς ἀναπλάσαντα.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱερεῖον ἄμωμον, ὁλοκαυτούμενος ἄνθραξι, μαρτυρικοῖς, τῷ ἐκ τῆς Παρθένου, προσενήνεξαι ἄνθρακι.

Δόξα...

Νάμασι τοῦ Πνεύματος, περικλυζόμενος Ἔνδοξε, τὰ θολερά, τῆς πολυθεΐας, ἀπεξήρανας ῥεύματα.

Καὶ νῦν... Θεοτοκίον

Ὅλην μου τὴν ἔφεσιν, πρὸς σὲ κινῶ ἁγνὴ Δέσποινα, τῶν σαρκικῶν, ἐπιθυμιῶν με, διὰ τάχους ἀπάλλαξον.

Ὠδὴ γ'. Ἦχος πλ. δ'
Ὁ Εἱρμὸς

Σὺ εἶ τὸ στερέωμα, τῶν προστρεχόντων σοι Κύριε, σὺ εἶ τὸ φῶς, τῶν ἐσκοτισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου».

# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

Ἦχος πλ. δ' Γα



Κάθισμα

Ἦχος πλ. α´

Τὸν συνάναρχον Λόγον

Ἐναντίον ἀνόμων καθωμολόγησας, τὸν τῶν ὅλων Δεσπότην Θεὸν καὶ Κύριον, μὴ φεισάμενος σαρκός, αἰκιζομένης σφοδρῶς, στρατιῶτα τοῦ Χριστοῦ, τῶν οὐρανίων στρατιῶν, συνόμιλε καὶ τῆς δόξης, τῆς ἀληθοῦς κληρονόμε· διὸ ἱκέτευε σωθῆναι ἡμᾶς.

Δόξα... Καὶ νῦν... Προεόρτιον

Ἦχος δ´

Ἐπεφάνης σήμερον

Ἐπεφάνη ἤστραψε, τοῖς ἐν τῷ σκότει, ὁ τῆς δόξης Ἥλιος, τὰς τῆς Θεότητος αὐγάς, ἐν τῷ Θαβὼρ ἀνερχόμενος, οὗ τὴν φωσφόρον, τιμήσωμεν ἔλευσιν.

Ὠδὴ ϛ´, τοῦ Ἁγίου Μάρτυρος

Ἦχος πλ. δ´

Ὁ Εἱρμὸς

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ Ἅδῃ προσήγγισε, καὶ δέομαι ὡς, Ἰωνᾶς· Ἐκ φθορᾶς ὁ Θεὸς με ἀνάγαγε.

# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

Ἦχος πλ. δ' Νη Γα



## Κοντάκιον Προεόρτιον
### Ἦχος δ΄. Ἐπεφάνης σήμερον

Ἐν τῇ θείᾳ σήμερον Μεταμορφώσει, ἡ βροτεία ἅπασα, φύσις προλάμπει θεϊκῶς, ἐν εὐφροσύνῃ κραυγάζουσα· Μεταμορφοῦται Χριστός, σῴζων ἅπαντας.

## Ἕτερον τοῦ Ἁγίου
### Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς

Ὡς εὐσεβείας μάρτυρα, καὶ ἀληθῆ θεόφρονα, ἡ Ἐκκλησία γεραίρει δοξάζουσα, τοὺς θείους ἄθλους σήμερον, τοῦ σοφοῦ Εὐσιγνίου, ἀκαταπαύστως βοῶσα· Ταῖς αὐτοῦ ἱκεσίαις, τοὺς δούλους σου συντήρησον Πολυέλεε.

## Ὁ Οἶκος

Ὁ χορὸς τῶν πιστῶν συναγάλλεται, Εὐσιγνίου τὴν μνήμην γεραίροντες, Βασιλεῖς, Πατριάρχαι καὶ ἄρχοντες, ξένοι, δοῦλοι, πτωχοὶ καὶ αὐτόχθονες, ἐπὶ τοῖς θαύμασι τοῦ Μάρτυρος δράμετε, ἡ σορὸς ἐκβλύζει θαυμάτων χάριν, καὶ πιστῶς οἱ λαοὶ ἀπαρύονται, καὶ Θεὸν ἀνυμνοῦσι τρανῶς βοῶντες, ταῖς αὐτοῦ ἱκεσίαις, τοὺς δούλους σου συντήρησον Πολυέλεε.

## Σ Υ Ν Α Ξ Α Ρ Ι Ο Ν

Τῇ Ε΄ τοῦ αὐτοῦ μηνός, προεόρτια τῆς Ἁγίας Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ μνήμη τοῦ Ἁγίου Μάρτυρος Εὐσιγνίου.

### Στίχοι

Εὐσίγνιον τέμνουσι τὸν Χριστοῦ φίλον,
Τομῆς μέχρι κράζοντα, Χριστὸς μοι σέβας.
Πέμπτῃ Εὐσιγνίοιο κάρη κονίῃσιν ἐμίχθη.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι δύο Μάρτυρες καὶ αὐτάδελφοι, Καττίδιος καὶ Καττιδιανός, λιθοβολιθέντες τελειοῦνται.

### Στίχοι

Βουνοὺς λίθων ἔστησαν ὑψηλοὺς Λόγε,
Δι΄ ὧν ἀνῆλθον πρὸς σὲ σύγγονοι δύο.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Νόννα, ἡ μήτηρ τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ἐν εἰρήνῃ τελειοῦται.

### Στίχοι

Νόννῃ θανούσῃ τῇ καλῇ καλὸς γόνος,
Καλὸν δίδωσιν ἐντάφιον τοὺς λόγους.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ἅγιος Μάρτυς Σόλεβ ὁ Αἰγύπτιος, βέλει τοξευθείς, τελειοῦται.

### Στίχοι

Ἂν συλλαβισθῇς ἐξόπισθεν ὦ Σόλεβ,
Βέλος συνάξεις ὄργανον τοῦ σοῦ τέλους.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Φάβιος, Ἀρχιεπίσκοπος Ῥώμης, ξίφει τελειοῦται.

Στίχοι

Κεῖται Φάβιος νεκρὸς ὁ Χριστοῦ θύτης,
Χριστῷ προσαχθεὶς θῦμα καινὸν ἐκ ξίφους.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ η΄, Ἦχος δ΄

Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Τὸν Βασιλέα Χριστόν, ὃν ὡμολόγησαν οἱ αἰχμάλωτοι Παῖδες, ἐν τῇ καμίνῳ λέγοντες μεγάλῃ τῇ φωνῇ· Πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας

Ἦχος πλ. δ΄




Τον βα σι λε α Χρι στον ο ον ω μο
λο γη σαν οι αιχ μα α λω τοι παι αι δες εν
τη κα μι νω λε γο ον τες με γα λη τη φω νη
παν τα τα ερ γα υ μνει τε και υ πε ρυ
ψου ου τε εις παν τας τους αι ω ω να α α
α ας

# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Τιμιωτέρα τετάρτου ἤχου.

Τιμιωτέρα Ἦχος λ τος



τα πει νω σιν της δου λης αυ του ι δου
γαρ α πο του νυν μα κα ρι ου σι με πα
σαι αι γε νε αι

Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε
κου σαν την ον τως Θε ο το κον σε με γα λυ
νο μεν

Στίχος γ' Ο τι ε ποι η σε μοι με γα
λει α ο δυ να τος και α γι ον το
ο νο μα αυ του και το ε λε ος αυ του

εις γε νε αν και γε νε αν τοις φο βου

με νοις αυ τον

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα λυ

νο μεν

Στίχος δ'

Ε ποι η σε κρα τος εν βρα χι

ο νι αυ του δι ε σκορ πι σεν υ πε

ρη φα νους δι α νοι α καρ δι ας αυ των

Την Τι μι ω τε ραν των Χε ρου βιμ και


εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε
κου σαν την ον τως Θε ο το κον σε με γα λυ
νο μεν
Στίχος ε΄
Κα θει λε δυ να στας α πο θρο
νων και υ ψω σε τα πει νους πει νων τας ε
νε πλη σεν α γα θων και πλου του ουν τας ε
ξα πε στει λε κε νους
Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φιμ την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα

λυ νο μεν

Στίχος στ´

Ἀν τε λα βε το Ισ ρα ηλ παι

δος αυ του μνη σθη ναι ε λε ους κα θως

ε λα λη σε προς τους πα τε ρας η μων

τω Α βρα αμ και τω σπερ μα τι αυ του ε

ως αι ω νος

Την Τι μι ω τε ραν των Χε ρου βιμ

και εν δο ξο τε ραν α συγ κρι τως των

Σε ρα φιμ την α δι α φθο ρως Θε ον

Λο γον τε κου σαν την ον τως Θε ο το κον




Εἶτα ψάλλεται ὁ Εἱρμός τῆς θ′ ᾠδῆς τοῦ Μηναίου.

Ἦχος δ′. Ὁ Εἱρμός

Cὲ τὴν ἀπειρόγαμον Θεοτόκον, τὴν οὐράνιον παστάδα, τὴν τεκοῦσαν τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, ἐν ὕμνοις μεγαλύνομεν.

Ἦχος πλ. β′ Βου




Ἦχος πλ. β′ Βου




κα ρι στον και πα να μω μη τον και μη
τε ρα του Θε ου η μων Την Τι μι ω
τε ραν των Χε ρου βιμ και εν δο ξο τε ραν
α συγ κρι τως των Σε ρα φιμ την α δι α
φθο ρως Θε ον Λο γον τε κου σαν την ον τως
Θε ο το κον σε ε με γα λυ νο με ε ε ε εν

Ἐξαποστειλάριον

Ἦχος β'

Τοῖς μαθηταῖς συνέλθωμεν

Θωρακισθεὶς Εὐσίγνιε, τὴν Χριστοῦ πανοπλίαν, τὰς παρατάξεις ἔτρεψας, τῶν ἀθέων τυράννων, καὶ ἦρας νίκης βραβεῖα, ἀνδρικῶς ἐναθλήσας, Μεγαλομάρτυς ἔνδοξε· ὅθεν νῦν τῇ Τριάδι, παρεστηκώς, σὺν Ἀγγέλοις πάνσοφε μὴ ἐλλίπῃς, ὑπὲρ ἡμῶν δεόμενος τῶν τιμώντων σε πόθῳ.

Προεόρτιον

Ἦχος β'

Τοῖς μαθηταῖς συνέλθωμεν...

Οἱ δόξης ἐφιέμενοι, ὁλικῶς τῆς ἐνθέου, τὸ νέφος διακόψωμεν, τοῦ γεώδους σαρκίου, μετάρσιοι πρὸς τὸ ὄρος, τὸ Θαβὼρ ἀνελθόντες, καὶ Μωϋσεῖ Ἠλίᾳ τε, Μαθητῶν τοῖς πρωτάρχαις συμμετασχεῖν, θεϊκῆς ἐλλάμψεως ἀπροσίτου, ἀξιωθῆναι σπεύσωμεν, φῶς φωτὶ προσλαβόντες.

## ΑΙΝΟΙ

## ΨΑΛΜΟΣ ΡΜΗ΄ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

ᾎσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς

δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί

τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ

φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Ὑιῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αιῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας……

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια τῆς ἑορτῆς.
Ἦχος α΄
Τῶν οὐρανίων ταγμάτων

Τῆς παναγίας ἐνδόξου Μεταμορφώσεως, προϋπαντὴν ποιοῦντες, τῇ παρούσῃ ἡμέρᾳ, Χριστὸν δοξολογοῦμεν τὸν τὴν ἡμῶν, τῷ πυρὶ τῆς Θεότητος, ἀναμορφώσαντα φύσιν, καὶ ὡς τὸ πρίν, ἀφθαρσίαν ἀπαστράψαντα.

Στίχ. Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.

Ἐπὶ τὸ ἅγιον ὄρος δεῦτε ἀπίωμεν, καὶ τὴν παμφαεστάτην, Μεταμόρφωσιν πίστει, κατίδωμεν Κυρίου, τοῦτον πιστῶς, προσκυνοῦντες καὶ λέγοντες· Σὺ εἶ Θεὸς ἡμῶν μόνος, ὁ σαρκωθείς, καὶ θεώσας τὸ ἀνθρώπινον.

Στίχ. Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται.

Αὕτη ἐστὶν ἡ ἡμέρα, ἡ προεόρτιος, μεθ΄ ἣν μεταμορφοῦται, ὁ Χριστὸς συμπαρόντων, Μωσέως καὶ Ἠλία, καὶ τῶν αὐτοῦ Μαθητῶν ἐν τῷ ὄρει Θαβώρ, φωνῆς δὲ θείας λαλούσης· Οὗτός ἐστιν, ἀληθῶς ὁ ἐκλεκτός μου Υἱός.

## Δόξα... Καὶ νῦν...

*Ἀπόστιχα. Θεοτοκίον. Ἦχος πλ. α΄*

Νόμου καὶ Προφητῶν σε Χριστέ, ποιητὴν καὶ πληρωτὴν ἐμαρτύρησαν, ὁρῶντες ἐν τῇ νεφέλῃ, Μωϋσῆς ὁ θεόπτης, καὶ Ἠλίας ὁ ἔμπυρος ἁρματηλάτης καὶ ἄφλεκτος οὐρανοδρόμος, ἐπὶ τῆς Μεταμορφώσεώς σου, μεθ᾽ὧν καὶ ἡμᾶς τοῦ σοῦ φωτισμοῦ ἀξίωσον Δέσποτα, ὑμνεῖν σὲ εἰς τοὺς αἰῶνας.

Ἦχος Πα



Νο ο μου και Προ φη τω ω ων σε Χρι ι
στε ποι η την και πλη ρω τη ην ε ε μαρ τυ
υ υ υ υ ρη η η η σαν ο ρων τες εν
τη νε ε φε ε ε λη Μω υ σης ο Θε ε ο ο ο
πτης και Η λι ας ο εμ πυ ρος αρ μα
α τη η λα α της και α φλεκ τος ου ρα νο
ο δρο ο ο μο ος ε πι της Με ε τα α μορ
φω ω σε ω ω ω ως σου μεθ ων και η μας
του σου φω τι σμου α ξι ω σον Δε σπο ο τα
υ μνειν σε εις τους αι ω ω ω να α α α α
α α ας

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

## Ἀπολυτίκιον

### Ἦχος Δι



# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

Εἰς τήν Θείαν Λειτουργία

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. α' Νη



# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ



# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Ἀντίφωνο Α΄

### Ἦχος Δι

Α μη ην

Σπχ. α΄ Α γα θον το ε ξο μο λο

γει σθαι τω Κυ ρι ω και ψαλ λειν τω ο

νο μα τι σου Υ ψι στε

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Σπχ. β΄ Του α ναγ γε λειν τω πρω ι

το ε λε ος σου και την α λη θει αν

σου κα τα νυ κτα

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Στιχ. δ' Ο τι ευ φρα νας με Κυ ρι ε

εν τοις ποι η μα σι σου και εν τοις ερ

γοις των χει ρων σου α γαλ λι α σο μαι

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Στιχ. δ' Ο τι ευ θυς Κυ ρι ος ο Θε

ος η μων και ουκ ε στιν α δι κι α

εν αυ τω

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Δόξα Πατρὶ...Καὶ νῦν...

Τὸ τελευταῖον.

Ταις πρε σβει αις της Θε ο

το ο κου Σω τερ σω σον η μα α ας

## Ἀντίφωνο Β΄

### Ἦχος Δι

Α μη ην

Στιχ. α΄ Ο Κυ ρι ος ε βα σι λευ

σεν ευ πρε πει αν ε νε δυ σα το ε

νε δυ σα το Κυ ρι ος δυ να μιν και

πε ρι ε ζω σα το

Πρε σβει αις των α γι ων σου σω σον η

μας Κυ ρι ε


Σπχ. β'
Και γαρ ε στε ρε ω σε την
οι ου με νην η τις ου σα λευ θη σε
ται
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Σπχ. γ'
Θαυ μα στοι οι με τε ω ρι
σμοι της θα λασ σης θαυ μα στος εν υ ψη
λοις ο Κυ ρι ος
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Σπχ. δ'
Τα μαρ τυ ρι α σου ε πι


στω θη σαν σφο δρα τω οι κω σου πρε πει
α γι α σμα Κυ ρι ε εις μα κρο τη
τα η με ρων
Πρε σβει αις των α γι ων σου σω σον η
μας Κυ ρι ε
Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι
Και νυν και α ει και εις τους αι ω νας
των αι αι ω νων Α μην
Ο μο νο γε νης Υι ος και Λο γος
του Θε ου α θα να τος υ πα α α αρ χων


και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως ε
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε ο Θε
ος θα να α τω ω θα να τον πα τη σας ει
εις ων της Α γι ας Τρι α δος συν δο ξα
ζο ο με νος τω Πα τρι και τω Α γι ω Πνευ
μα τι σω σον η μα α ας

## Ἀντίφωνο Γ'

Ἦχος Δι




εν Α γι οις θαυ μα στος ψαλ λον τας Σοι
αλ λη λου ι α
Στιχ. δ' Ο τι Θε ος με γας Κυ ρι ος
και βα σι λευς με γας ε πι πα σαν την
γην
Σω σον η μας Υι ε Θε ου ο εν
Α γι οις θαυ μα στος ψαλ λον τας Σοι αλ λη
λου ι α α α α

## Εἰσοδικό


Δευ τε προ σκυ νη σω μεν και προ σπε σω
μεν Χρι στω Σω σον η μα ας Υι ε Θε ου
ο εν Α γι οις ϑαυ μα στος ψαλ λον τας
Σοι αλ λη λου ι α

## Ἀπολυτίκιον

### Ἦχος Δι




Εἶτα ψάλλομεν τὸ Ἀπολυτίκιον
τοῦ Ἁγίου τοῦ Ναοῦ.

Ἦχος Γα


Με τε μορ φω ω θης εν τω ο ρει Χρι
στε ε ο Θε ος δει ξας τοις Μα θη ταις σου την
δο ξαν σου κα θως η δυ ναν το λαμ ψον και η
μιν τοις α μαρ τω λοις το φως σου το α ι δι
ον πρε σβει αις της Θε ο το κου φω το δο
τα δο ξα σοι

## Κοντάκιον Προεόρτιον
## Ἦχος δ΄. Ἐπεφάνης σήμερον

Ἐν τῇ θείᾳ σήμερον Μεταμορφώσει, ἡ βροτεία ἅπασα, φύσις προλάμπει θεϊκῶς, ἐν εὐφροσύνῃ κραυγάζουσα· Μεταμορφοῦται Χριστός, σῴζων ἅπαντας.

Ἦχος δ΄.

Μέ βάση τόν Γα ἤ Δι ως Πα.

Ἦχος Πα

Ἦχος Γα



## ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΠΑΡΑΣΚΕΥΗ ΛΒ΄, ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος γ΄

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Καθολικῆς Α΄ Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα 1:1-25, 2:1-10

Ἀδελφοί, Πέτρος, Ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας, κατὰ πρόγνωσιν Θεοῦ πατρός, ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη. Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰη- σοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεν νήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι᾿ ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς τοὺς ἐν δυνάμει Θεοῦ φρουρουμένους διὰ πίστεως εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ· ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι,

εἰ δέον ἐστί, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολυτιμότερον χρυσίου τοῦ ἀπολ λυμένου διὰ πυρὸς δὲ δοκιμαζομένου εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ· ὃν οὐκ εἰδότες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πι- στεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν. Περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν Προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες, ἐρευνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ προμαρτυρούμενον τὰ εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας· οἷς ἀπεκαλύφθη ὅτι οὐχ ἑαυτοῖς, ὑμῖν δὲ διηκόνουν αὐτά, ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς ἐν Πνεύματι Ἁγίῳ ἀποσταλέντι ἀπ᾽ οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν Ἄγγελοι παρακύψαι. Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ· ὡς τέκνα ὑπακοῆς μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς Ἅγιον καὶ αὐτοὶ

ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε· διότι γέγραπται· Ἅγιοι γίνεσθε, ὅτι ἐγὼ Ἅγιός εἰμι. καὶ εἰ Πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς τῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ, προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ΄ ἐσχάτων τῶν χρόνων δι΄ ὑμᾶς τοὺς δι΄ αὐτοῦ πιστεύοντας εἰς Θεὸν τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν καὶ δόξαν αὐτῷ δόντα, ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς Θεόν. Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ Πνεύματος, εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς· ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ ἀφθάρτου, διὰ λόγου ζῶντος Θεοῦ καὶ μένοντος εἰς τὸν αἰῶνα· διότι πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε· τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα. τοῦτο δέ ἐστι τὸ ρῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς. ΄Αποθέμενοι

οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑποκρίσεις καὶ φθόνους καὶ πάσας καταλαλιάς, ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν καὶ ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν, εἴπερ ἐγεύσασθε ὅτι χρηστὸς ὁ Κύριος. Πρὸς ὃν προσερχόμενοι, λίθον ζῶντα, ὑπὸ ανθρώπων μὲν ἀποδεδοκιμασμένον, παρὰ δὲ Θεῷ ἐκλεκτόν, ἔντιμον, καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε οἶκος πνευματικός, ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας εὐπροσδέκτους τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ· διότι περιέχει ἐν τῇ Γραφῇ· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτόν, ἔντιμον, καὶ ὁ πιστεύων ἐπ᾿ αὐτῷ οὐ μὴ καταισχυνθῇ· ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν, ἀπειθοῦσι δὲ λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας καὶ Λίθος προσκόμματος καὶ πέτρα σκανδάλου· οἳ προσκόπτουσι τῷ λόγῳ ἀπειθοῦντες, εἰς ὃ καὶ ἐτέθησαν. Ὑμεῖς δὲ γένος ἐκλεκτόν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· οἵ ποτε οὐ λαός, νῦν δὲ λαὸς Θεοῦ, οἳ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες.

Ἀλληλούϊα. (γʹ) Ἦχος πλ. δʹ

Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου.

Στίχ. Ὤμοσε Κύριος τῷ Δαυΐδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.


Ἦχος Πα
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Σοι Κυ ρι ε
Α μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σου
Σοι οι οι οι οι Κυ ρι ε
Ἕτερον.
Σοι Κυ ρι ε ε ε ε ε ε
Α α α μην

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

## ΕΙΣ ΑΓΙΟΣ

Ἦχος Πα Ἐναρμόνιος



# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Ἦχος Λέγετος



# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Κοινωνικόν

Ἦχος ᾴ Πα




μαι Αλ λη λου ου ου ι ι ι ι α
α α α
Στίχος. Τι αν τα πο δω σω τω Κυ ρι
ι ω πε ρι πα αν των ων αν τα πε δω κε
μει
Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα α Κυ
υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο
μαι Αλ λη λου ου ου ι ι ι ι α
α α α
Στίχος. Τας ευ χας μου τω Κυ ρι ω


α πο δω ω σω ε ναν τι ον παν το ος
του λα ου α αυ του
Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα α Κυ
υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο
μαι Αλ λη λου ου ου ι ι ι ι α
α α α
Στίχος. Ὢ Κυ ρι ε ε γω δου λος σος ε
γω ω δου ου λος σος και υι ο ος της παι δι
σκη ης σου δι ερ ρη ξας τους δε σμους μου
Πο τη ρι ι ον σω τη ρι ι ου ου λη


η ψο ο ο μαι και το ο νο μα α Κυ
υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο
μαι Αλ λη λου ου ου ι ι ι ι α
α α α
Στίχος. Ε πι στρε ψον ψυ χη μου εις την
α να παυ σιν σου ο τι Κυ ρι ος ευ ηρ
γε τη σε σε
Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα α Κυ
υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο
μαι Αλ λη λου ου ου ι ι ι ι α

α α α

Στίχος. Ε λε η μων ο Κυ ρι ος και

δι και ος και ο Θε ος η μω ων ε λε

ει

Πο τη ρι ι ον σω τη ρι ι ου ου λη

η ψο ο ο μαι και το ο νο μα α Κυ

υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο

μαι Αλ λη λου ου ου ι ι ι ι α

α α α

Στίχος. Ευ α ρε στη σω ε νω πι ον Κυ

ρι ου εν χω ρα ζω ων των


Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα α Κυ
υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο
μαι Αλ λη λου ου ου ι ι ι ι α
α α α
Στίχος. Σοι θυ σω θυ σι ι ι αν αι νε
σε ως και εν ο νο μα τι Κυ ρι ου ε πι κα
λε σο μαι
Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα α Κυ
υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο


μαι Αλ λη λου ου ου ι ι ι ι α
α α α
Στίχος. Τας ευ χας μου τω Κυ ρι ω α
πο δω σω ε ναν τι ον παν τος του λα ου
αυ του εν αυ λαις οι κου Κυ ρι ου εν
με ε σω σου Ι ε ρου σα λημ
Πο τη ρι ι ον σω τη ρι ι ου ου λη
η ψο ο ο μαι και το ο νο μα α Κυ
υ ρι ι ου ε πι κα λε ε ε σο ο ο ο
μαι Αλ λη λου ου ου ι ι ι ι α
α α α


Ἦχος Πα
Ἀ α α νες Α α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει και τα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν και δι α α νοι οι αν τα
πα αν τα η μιν συγ χω ω ω ρη σον ως
α γα θο ος και αι αι φι λα α α α
αν θρωπ ω ω πο ο ο ος

# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

Χριστέ το φῶς τό ἀληθινόν.

Ἦχος Πα



η μω ω ων προς ερ γα σι ι ι αν τω

ω ω ων ε εν το ο ο λω ω ω ων σου

πρε σβει ει αις της πα να χρα αν του ου ου

σου ου Μη η η τρος και πα αν τω ων

σου ου των Α γι ω ω ων α μην

# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι




Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί...




αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ

## Εἴη τό ὄνομα...

Ἦχος Δι

Α α μην Ει η το ο νο μα Κυ ρι
ου ευ λο γη με νον α πο του νυν και ε
ως του αι ω νος ( Δίς )

Το ο νο μα Κυ ρι ου ει η ευ λο
γη με ε νον α πο του νυν και ε ως του
αι ω ω ω νο ο ος

## Τόν Εὐλογούντα...

Τον ευ λο γου ου ουν τα και α γι ι
α ζον τα η μας Κυ ρι ε φυ λατ τε
ει ει εις πολ λα ε ε τη η η

# 05-08-2026 ΟΡΘΡΟΣ ΤΕΤΑΡΤΗΣ ΠΡΟΕΟΡΤΙΟΣ



νη η ε πα α κου σον των πα ρα α κα λου ουν

των σε ε ε ε ε ε ε ε ε ε

Θεοτοκία εἰς ἦχον Βαρύν

Μή καταπιστεύσεις με

Ἦχος Βαρύς Ζω

με Μη η κα τα α πι στε ευ σης με αν

θρω πι νη προ ο στα σι α Πα να γι α δε

ε σποι να α α αλ λα δε ξαι δε ε η σι ι ιν

του ι κε ε του σου θλι ψις γαρ ε ε

ε χει με φε ε ε ε ε ε ρειν ου

δυ να μαι των δαι μο νων τα το ξε ευ μα

τα σκε πην ου κε ε κτη μαι αι αι ου ου δε




Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελῳδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.